ΓΑ, ΑΔ τετραπλάσιά ἐστι τοῦ ἀπὸ ΑΔ· ἀλλὰ τὸ μὲν δὶς
ὑπὸ τῶν ΓΑ, ΑΔ ἴσον ἐστὶ τῷ ὑπὸ τῶν ΒΑ, ΑΓ· διπλῆ
γὰρ ἡ ΒΑ τῆς ΑΔ· τὸ δὲ ἀπὸ τῆς ΑΓ ἴσον ἐστὶ τῷ ὑ-
πὸ τῶν ΑΒ, ΒΓ· ἡ γὰρ ΑΒ ἄκρον καὶ μέσον λόγον τέτμηται·
τὸ ἄρα ὑπὸ τῶν ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ τετραπλά-
— διὰ β' τοῦ β' σιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΔ· ἀλλὰ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ με-
τὰ τοῦ ὑπὸ τῶν ΑΒ, ΒΓ τὸ ἀπὸ τῆς ΑΒ ἐστίν· τὸ ἄρα
ἀπὸ τῆς ΑΒ
τετραπλάσι-
όν ἐστι τοῦ ἀ-
πὸ ΑΔ· ἔστι δέ·
διπλῆ γάρ ἐστιν ἡ ΑΒ τῆς ΑΔ :—

+ ΣΥΝΘΕΣΙΣ :—

Ἐπεὶ οὖν τετραπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΒΑ τοῦ ἀπὸ τῆς
ΑΔ· ἀλλὰ τὸ ἀπὸ ΒΑ τὸ ὑπὸ ΒΑ, ΑΓ ἐστὶ μετὰ τοῦ ὑπὸ ΑΒ,
ΒΓ· τὸ ἄρα ὑπὸ ΒΑ, ΑΓ μετὰ τοῦ ὑπὸ ΑΒ, ΒΓ τετραπλά-
σιόν ἐστι τοῦ ἀπὸ ΑΔ· ἀλλὰ τὸ μὲν ὑπὸ τῶν ΒΑ, ΑΓ ἴσον
— διὰ [illegible] β' τοῦ α' ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ· τὸ δὲ ὑπὸ τῶν ΑΒ, ΒΓ ἴ-
σον ἐστὶ τῷ ἀπὸ τῆς ΑΓ· τὸ ἄρα ἀπὸ τῆς ΑΓ μετὰ
τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς
ΔΑ· ὥστε τὰ ἀπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ,
διὰ δ' τοῦ β' ΑΓ πενταπλάσιά ἐστι τοῦ ἀπὸ τῆς ΔΑ· τὰ δὲ ἀπὸ τῶν
ΔΑ, ΑΓ μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ τὸ ἀπὸ τῆς ΓΔ ἐστίν·
τὸ ἄρα ἀπὸ τῆς ΓΔ πενταπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς
ΔΑ· ὅπερ ἔδει δεῖξαι :—

+ τοῦ β' θεωρήματος ἡ ἀνάλυσις καὶ
ἡ σύνθεσις. ἄνευ καταγραφῆς :—

Εὐθεῖα γάρ τις ἡ ΓΔ τμήματος ἑαυτῆς τοῦ ΔΑ πεντα-
πλάσιον δυνάσθω· τῆς δὲ ΔΑ διπλῆ κείσθω ἡ ΑΒ. λέ-
γω ὅτι ἡ ΑΒ ἄκρον καὶ μέσον λόγον τέμνεται κατὰ τὸ Γ
σημεῖον. καὶ τὸ μεῖζον τμῆμα ἐστὶν ἡ ΑΓ. ἥτις ἐστὶ τὸ
λοιπὸν μέρος τῆς ἐξ ἀρχῆς εὐθείας· ἐπεὶ γὰρ ἡ ΑΒ
ἄκρον καὶ μέσον λόγον τέμνεται κατὰ τὸ Γ. καὶ τὸ μεῖζον
τμῆμα ἐστὶν ἡ ΑΓ. τὸ ἄρα ὑπὸ τῶν ΑΒ, ΒΓ ἴσον ἐστὶ τῷ
ἀπὸ τῆς ΑΓ· ἔστι δὲ καὶ τὸ ὑπὸ τῶν ΒΑ, ΑΓ τῷ δὶς ὑπὸ
τῶν ΔΑ, ΑΓ ἴσον· διπλῆ γάρ ἐστιν ἡ ΒΑ τῆς ΑΔ· τὸ ἄ-
ρα ὑπὸ τῶν ΑΒ, ΒΓ μετὰ τοῦ ὑπὸ ΒΑ, ΑΓ ὅπερ ἐστὶ τὸ ἀ-
πὸ τῆς ΑΒ, ἴσον ἐστὶ τῷ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ
ἀπὸ τῆς ΑΓ· τετραπλάσιον δὲ τὸ ἀπὸ τῆς ΑΒ τοῦ
ἀπὸ τῆς ΔΑ· τετραπλάσιον ἄρα καὶ τὸ δὶς ὑπὸ τῶν
ΔΑ, ΑΓ μετὰ τοῦ ἀπὸ ΑΓ τοῦ ἀπὸ ΔΑ· ὥστε τὰ ἀπὸ
τῶν ΔΑ, ΑΓ (μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ) ὅπερ ἐστὶν ἀπὸ τῆς ΓΔ, πενταπλάσια
ἐστὶ τοῦ ἀπὸ τῆς ΔΑ· ἔστιν δὲ διὰ τὴν ὑπόθεσιν :—

+ ΣΥΝΘΕΣΙΣ :—

Ἐπεὶ οὖν πενταπλάσιόν ἐστι τὸ ἀπὸ τῆς ΓΔ τοῦ ἀπὸ
τῆς ΔΑ· τὸ δὲ ἀπὸ τῆς ΓΔ τὸ ἀπὸ τῶν ΔΑ, ΑΓ ἐστὶν
μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ. τὰ ἄρα ἀπὸ τῶν ΔΑ, ΑΓ
μετὰ τοῦ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ πενταπλάσιά ἐστι τοῦ ἀ-
πὸ ΔΑ· διελόντι τὸ δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ μετὰ τοῦ ἀ-
πὸ τῆς ΑΓ τετραπλάσιόν ἐστι τοῦ ἀπὸ τῆς ΑΔ· ἔστιν
δὲ καὶ τὸ ἀπὸ τῆς ΑΒ τετραπλάσιον τοῦ ἀπὸ ΑΔ· τὸ
ἄρα δὶς ὑπὸ τῶν ΔΑ, ΑΓ ὅπερ ἐστὶν τὸ ἀπὸ ὑπὸ τῶν
ΒΑ, ΑΓ μετὰ τοῦ ἀπὸ ΑΓ. ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΑΒ· ἀλ-

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo